febricitanti inedia,& quies conferat: alicui tamen fortè non ita conducit, & pugillandi artifex non omnibus fortaſſe eandem pugnam imponit. Videntúrque magis exactè abſolui ſingula ſi priuata cura adhibeatur. magis enim quod accommodatum ſibi eſt, vnuſquiſque conſequitur. Sed curam optimè adhiberet quidem ſingulis rebus & medicus & exercitationis magiſter,& vnuſquiſque alius,qui vniuerſale cognoſceret, quid omnibus aut talibus conducat: communium enim rerum ſcientiæ & dicuntur,& ſunt: nihil tamen fortaſſe vetat, quominus vnius alicuius rei, licet ſcientia præditus non ſit, curam habere quiſpiam poſſit: qui modo quæ in vnaquaque re accidant, experientia diligenter obſeruarit. Quemadmodum etiam medici nonnulli optimi eſſe ſibi ipſis videntur, qui alteri ferre opem nullam queunt. nec minus forſitan ei qui artifex & contemplatiuus effici vult, ad vniuerſale videtur eſſe procedendum, atque id quomodo fieri poſſit, cognoſcendum. de hoc enim ſcientias eſſe dictum iam eſt. Ac fortaſſe ei qui vult ſiue multos, ſiue paucos diligentia ac ſtudio meliores reddere, vt ad legumlationem idoneus euadat, enitendum eſt: ſi legibus boni effici poſſumus. quamcunque enim & prius latam rectè diſponere cuiuſlibet non eſt: ſed ſi modo eſt cuiuſpiam eſt ſcientis. ſicut in equeſtri arte, & reliquis quarum cura aliqua & prudentia eſt. Poſt hæc igitur conſiderandum, vnde aut quomodo ad leges ferendas fieri idoneus quiſpiam poſſit. an ſicut in cæteris fit, ex ciuilibus? An non ſimile quid in ciuili & reliquis ſcientiis & facultatibus apparet? quippe cùm in cæteris idem facultates tradant qui ex eis operantur: vt medici, & pictores. ciuiles autem res rhetores docere profiteantur, cùm tamen nemo ex ipſis eas agat, ſed illi tantum qui rempublicam gerunt. qui quidem facultate quadam potius & experientia, quàm intellectione id agunt. Nam neque ſcribere neque dicere de huiuſmodi rebus conſpiciuntur: cùm tamen fortaſſe id præclarius fuerit, quàm iudiciales & deliberatiuas orationes conficere. Neque ciuiles vel filios ſuos, vel aliquos alios reddere amicos videntur: id quod fuerat ſanè conſentaneum,

A τῷ πυρέττοντι συμφέρει ἀσιτία καὶ ἡσυχία, τινὶ δὲ ἴσως οὔ· ὅ, τε πυκτικὸς ἴσως οὐ πᾶσι τὴν αὐτὴν μάχην περιτίθησιν. ἐξακριβῶσαι δὲ δόξειεν ἂν μᾶλλον τὸ καθ' ἕκαστον, ἰδίας τῆς ἐπιμελείας γινομένης· μᾶλλον γὰρ τοῦ προσφόρου τυγχάνει ἕκαστος. ἀλλ' ἐπιμεληθείη μὲν ἄριστα τοῦ καθ' ἕνα, καὶ ἰατρὸς, καὶ γυμναστὴς, καὶ πᾶς ἄλλος ὁ τὸ καθόλου εἰδὼς, ὅτι πᾶσιν, ἢ τοῖς τοιοῖσδε· τῶν κοινῶν γὰρ B αἱ ἐπιστῆμαι λέγονταί τε καὶ εἰσίν. οὐ μὴν ἀλλὰ καὶ ἑνός τινος οὐδὲν ἴσως κωλύει καλῶς ἐπιμεληθῆναι καὶ ἀνεπιστήμονα ὄντα· τεθεαμένον δὲ ἀκριβῶς τὰ συμβαίνοντα ἐφ' ἑκάστῳ δι' ἐμπειρίαν, καθάπερ καὶ ἰατροὶ ἔνιοι δοκοῦσιν αὑτοῖς ἄριστοι εἶναι, ἑτέρῳ οὐδὲν ἂν δυνάμενοι ἐπαρκέσαι. οὐδὲν δὲ ἧττον ἴσως τῷ γε βουλομένῳ τεχνικῷ γενέσθαι καὶ θεωρητικῷ, ἐπὶ τὸ καθόλου βαδιστέον εἶναι δόξειεν C ἄν, κἀκεῖνο γνωριστέον ὡς ἐνδέχεται· εἴρηται γὰρ ὅτι περὶ τοῦθ' αἱ ἐπιστῆμαι. τάχα δὲ καὶ τῷ βουλομένῳ δι' ἐπιμελείας βελτίους ποιεῖν, εἴτε πολλοὺς, εἴτε ὀλίγους, νομοθετικῷ πειρατέον γενέσθαι. εἰ διὰ νόμων ἀγαθοὶ γενοίμεθ' ἄν. ὅντινα γὰρ οὖν καὶ τὸν προστεθέντα διαθεῖναι καλῶς, οὐκ ἔστι τοῦ τυχόντος· ἀλλ' εἴπερ τινὸς, τοῦ εἰδότος, ὥσπερ ἐπ' ἰα-D τρικῆς καὶ τῶν λοιπῶν, ὧν ἐστὶν ἐπιμέλειά τις καὶ φρόνησις. ἆρ' οὖν μετὰ τοῦτο ἐπισκεπτέον πόθεν ἢ πῶς νομοθετικὸς γένοιτ' ἄν τις· ἢ καθάπερ ἐπὶ τῶν ἄλλων, παρὰ τῶν πολιτικῶν; μόριον γὰρ ἐδόκει τῆς πολιτικῆς εἶναι. ἢ οὐχ ὅμοιον φαίνεται ἐπὶ τῆς πολιτικῆς, καὶ τῶν λοιπῶν ἐπιστημῶν τε καὶ δυνάμεων; ἐν μὲν γὰρ τοῖς ἄλλοις, οἱ αὐτοὶ φαίνονται τάς τε δυνάμεις παραδιδόντες, καὶ ἐνεργοῦντες ἀπ' E αὐτῶν· οἷον ἰατροὶ, γραφεῖς· τὰ δὲ πολιτικὰ, ἐπαγγέλλονται μὲν διδάσκειν οἱ σοφισταί· πράττει δὲ αὐτῶν οὐδείς· ἀλλ' οἱ πολιτευόμενοι, οἳ δόξαιεν ἂν δυνάμει τινὶ τοῦτο πράττειν, καὶ ἐμπειρίᾳ μᾶλλον ἢ διανοίᾳ· οὔτε γὰρ γράφοντες, οὔτε λέγοντες περὶ τῶν τοιούτων φαίνονται· καίτοι κάλλιον ἦν ἴσως, ἢ λόγους δικανικούς τε καὶ δημηγορικούς· οὐδὲ αὖ πολιτικοὺς πεποιηκότες, τοὺς σφετέρους υἱεῖς, ἤ τινας ἄλλους τῶν φίλων. εὔλογον δὲ ἦν, εἴπερ ἐδύναντο· οὔτε γὰρ ταῖς πόλεσιν ἄμεινον οὐδὲν κατέλιπον ἄν· οὔθ' αὑτοῖς ὑπάρξαι προέλοιντ' ἂν μᾶλλον τῆς τοιαύτης δυνάμεως, οὐδὲ δὴ τοῖς φιλτάτοις. οὐ μὴν μικρόν γε ἔοικεν ἡ ἐμπειρία συμβάλλεσθαι· οὐ γὰρ ἐγίγνοντο ἂν διὰ τῆς πολιτικῆς συνηθείας μᾶλλον πολιτικοί· διὸ τοῖς ἐφιεμένοις περὶ πολιτικῆς εἰδέναι,